## ΙΟΥΛΙΟΥ Θ'

# ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ

## ΝΕΟΜΑΡΤΥΡΟΣ ΜΙΧΑΗΛ ΤΟΥ ΕΞ ΑΘΗΝΩΝ, ΑΘΛΗΣΑΝΤΟΣ ΕΝ ΕΤΕΙ 1770

### ΕΝ ΤΩ, ΜΙΚΡΩ, ΕΣΠΕΡΙΝΩ,

Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος α'. Των Οὐρανίων Ταγμάτων*

Τὸν ἀγγελώνυμον δεῦτε Κυρίου Μάρτυρα, τιμήσωμεν ἐν ὕμνοις, πρὸς αὐτὸν ἐκβοῶντες· Χαίροις Νεομάρτυς τοῦ Ἰησοῦ, Μιχαὴλ ἀξιάγαστε, τῶν Ἀθλοφόρων τῶν πάλαι ἰσοκλεής, καὶ ἐν πᾶσιν ἰσοστάσιος.

Τῇ καθαρᾷ σου καρδίᾳ τὸ πῦρ τὸ ἄϋλον, τῆς τοῦ Χριστοῦ ἀγάπης, Μιχαὴλ περιφέρων, ἠγώνισαι νομίμως ὑστέροις καιροῖς, ἐν ἀκμῇ τῆς νεότητος, καὶ τὸν ἀρχαῖον κατέβαλες πτερνιστήν, τῇ ἀθλήσει σου μακάριε.

Ἀπεριτρέπτῳ καρδίᾳ καὶ σταθερῷ λογισμῷ, ὑπέκλινας τῷ ξίφει, Μιχαὴλ τὸν αὐχένα, καὶ ῥείθροις τῶν αἱμάτων τῶν δυσσεβῶν, τὴν ἀπάτην κατέκλυσας, καὶ διαδήματι νίκης παρὰ Χριστοῦ, ἐπαξίως ἐστεφάνωσαι.

Τῶν Ἀθηναίων ἡ πόλις ὡς ἄνθος εὔοσμον, λαμπρῶς ἐξήνθησέ σε, Μιχαὴλ Νεομάρτυς, εὐφραῖνον τὰς αἰσθήσεις τῶν εὐσεβῶν, εὐωδίᾳ τῶν ἄθλων σου· διὸ καὶ χαίρει τὴν μνήμην σου τὴν σεπτήν, ἑορτάζουσα μακάριε.

*Δόξα. Ἦχος δ'.*

Εὐσεβείας τοὺς καρπούς, πρακτικῶς γεωργήσας, ἐν εὐθύτητι ψυχῇ καὶ ἁπλότητι τρόπων, μαρτυρικῇ ἐνστάσει Χριστὸν ἐδόξασας, Μιχαὴλ ἀξιάγαστε· σεαυτὸν γὰρ ἠρνήσω, διὰ τὴν πάντων ζωήν, καὶ ἀθλητικῷ τέλει ὑπέφηνας, τὴν ἐν σοὶ λαμπρότητα· διὸ ὁ πάντων Κύριος, ὡς οἰκεῖον ἀθλητὴν δοξάζει σε, καὶ παρέχει διὰ σοῦ ἡμῖν τὸ μέγα ἔλεος.



*Καὶ νῦν. Θεοτοκίον*

Ἐκ παντοίων κινδύνων.......

*Ἀπόστιχα*

*Ἦχος β'. Οἶκος του Ἐφραθᾶ*

Ἄκακος καὶ ἁπλοῦς, ὑπάρχων νεανίας, καὶ πλήρης θείου φόβου, ὦ Μιχαὴλ θεόφρον, ὑπὲρ Χριστοῦ ἠγώνισαι.

*Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει .....*

Μόνῳ τῷ Ἰησοῦ, ὡς Ποιητῇ τῶν ὅλων, λατρεύω ἀνεβόας, ὦ Μιχαὴλ θεόφρον, σύνετε ὦ παράνομοι.

*Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ*

Ξίφει τὴν κεφαλήν, τμηθεὶς συνηριθμήθης, Μαρτύρων ταῖς χορείαις, μεθ' ὧν ἀεὶ δυσώπει, ὑπὲρ ἡμῶν μακάριε.

*Δόξα. Τριαδικὸν*

Ἔχων ἐν τῇ ψυχῇ, ἀγάπην σου τὴν θείαν, Τρισήλιε Θεότης, ὁ Μιχαὴλ ὁ Μάρτυς, ἀθλητικῶς ἠγώνισται.

*Καὶ νῦν. Θεοτοκίον.*

Ὅλος ἀνατεθείς, τῷ πόθῳ τοῦ Υἱοῦ σου, ὁ Μιχαὴλ ὁ Μάρτυς, Παρθένε Θεοτόκε, κατῄσχυνε τὸν δράκοντα.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

## ΕΝ ΤΩ, ΜΕΓΑΛΩ, ΕΣΠΕΡΙΝΩ,

Μετὰ τὸν προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

*Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.*

Μαρτυρίου τὸ στάδιον, ἐν νεότητι σώματος, καὶ ψυχῆς στερρότητι χαίρων ἤνυσας, καταβαλὼν τὸν πολέμιον, ὑστέροις ἐν ἔτεσι, Νεομάρτυς Μιχαήλ, καὶ τῆς δόξης τῆς κρείττονος, ὤφθης μέτοχος· διὰ τοῦτο τὴν μνήμην σου τελοῦντες, ἀνυμνοῦμεν τὸν Σωτῆρα, τὸν σὲ λαμπρῶς ἐνισχύσαντα.

Τῇ τῶν τρόπων ἁπλότητι, καὶ ἠθῶν τῇ σεμνότητι, τῆς ψυχῆς σου ἔδειξας τὴν λαμπρότητα, καὶ εὐσεβείας τὴν δύναμιν, δι' ἧς καταβέβληκας, τὸν ἀρχέκακον ἐχθρόν, καὶ Χριστὸν ἐμεγάλυνας, τῇ ἀθλήσει σου, Μιχαὴλ τῶν Ἀγγέλων συμπολῖτα, καὶ τῶν πάλαι Ἀθλοφόρων, συγκοινωνὲ καὶ ἰσότιμε.

Ὡς ἀρνίον πραότατον, δυσσεβεῖς κατασχόντες σε, βίᾳ εἷλκον· Ἅγιε πρὸς ἀσέβειαν, σὺ δὲ ἀνδρείῳ φρονήματι, οὐδόλως ὑπέκλινας, ἀπειλαῖς καὶ δωρεαῖς καὶ τμηθεὶς τὸν αὐχένα σου, χαίρων ἔδραμες, Μιχαὴλ Νεομάρτυς πρὸς σκηνώσεις, οὐρανῶν καὶ τῶν Μαρτύρων, συνηριθμήθης τοῖς τάγμασι.

Οὐ φθαρτῶν ἡ ἀπόλαυσις, οὔτε ἄνθος νεότητος, οὐδὲ ἀπειλούμενα Μάρτυς βάσανα, τῆς σῆς ψυχῆς τὸ στερέμνιον, οὐδόλως ἐξίσχυσαν, ἀποστῆσαι τῆς Χριστοῦ, ἀρραγοῦς ἀγαπήσεως, ᾧ ἑπόμενος, μαρτυρίου ἀγῶσι προσηνέχθης, Μιχαὴλ τῷ ἀθλοθέτῃ, ὡς ἱερεῖον ἀμώμητον.

Τοῦ Χριστοῦ τὸ ποτήριον, ἀγαλλόμενος ἔπιες, Μιχαὴλ μακάριε πόθῳ κρείττονι· ὑπὲρ αὐτοῦ γὰρ εἰς θάνατον, προθύμως ἐκδέδωκας, σεαυτὸν ἀναβοῶν, τῷ δημίῳ· Κατένεγκε, τῷ αὐχένι μου, τὴν πληγὴν τάχος ἵνα θείας δόξης, καὶ ζωῆς τῆς ἀθανάτου, κληρονομήσω τὴν ἔλλαμψιν.

Ἀθηναίων ἡ πόλις σε, ὥσπερ ῥόδον πανεύοσμον, Μιχαὴλ μακάριε ἀνεβλάστησε, καὶ τὴν ἁγίαν σου ἄθλησιν, ὡς μήτηρ καλλίτεκνος, μακαρίζει καὶ τιμᾷ, ὑπὲρ ἧς ἀεὶ πρέσβευε, τῷ Παντάνακτι, πάσης ῥυέσθαι ταύτην δυσπραγίας, καὶ ἡμῖν δίδοναι Μάρτυς, ἁμαρτημάτων συγχώρησιν.



*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον ὁ Νεομάρτυς Μιχαήλ, ὡς νεοφανὴς ἀστὴρ τῇ Ἐκκλησίᾳ ἀνέτειλεν, ὑπὲρ Χριστοῦ στερρῶς ἀθλήσας· τὸν γὰρ ζόφον τῆς πλάνης, πίστεως φωτὶ σκεδάσας, τῆς ἐν Χριστῷ ἀθλήσεως ἐκφαίνει τὰς ἀμοιβάς, τοῖς βρῶσιν αὐτῷ· χαίροις ὁ ἐν νεότητος ὥρᾳ, πρεσβυτικὴν ἀνθήσας σύνεσιν, καὶ τὸ θανεῖν ὑπὲρ Χριστοῦ, ὑπὲρ τὸ ζῆν προκρίνας, κατὰ Παῦλον τὸν μέγαν· χαίροις ὁ ἐν ἁπλότητι ψυχῆς, καὶ θεολήπτῳ φρονήματι, ἀθλητικὴν ἐπιδειξάμενος ἔνστασιν· χαίροις ἀγγελώνυμε Μάρτυς, Ἀθηνῶν ὡραῖον βλάστημα, καὶ τῶν πάλαι Μαρτύρων ἰσοστάσιε· μεθ' ὧν τοῦ ξύλου τῆς ζωῆς ἀπολαύων, ἀπαύστως ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νυν. Ὁ αὐτός.*

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ

## ΑΝΑΓΝΩΣΜΑΤΑ

*Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα*

*( Κεφ. μγ΄ 9 )*

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀναγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμὶ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

*Σοφίας Σολομῶντος τό Ἀνάγνωσμα*

*(Κεφ. γ΄. 1)*

**Δ**ικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τό Ἀνάγνοσμα*

*(Κεφ. ε΄5 στ΄1)*

**Δ**ίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται, χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



*Εἰς τὴν Λιτήν, Ἰδιόμελα.*

*Ἦχος α΄.*

**Ε**ὐφραίνεται ἐνθέως, ἡ τῶν Ἀθηναίων πολύφημος πόλις, τῇ λαμπρᾷ ἀθλήσει σου, Μιχαὴλ μακάριε· εὐσεβείας γὰρ τῷ γάλακτι, καλῶς, σε ἐκθρέψασα, ὡς ἱερεῖον ἄμωμον, καὶ θυσίαν καθαράν, Χριστῷ σε προσήγαγεν· ἀνδρείᾳ γὰρ ψυχῆς, ὑπὲρ Χριστοῦ τὸ αἷμα ἐξέχεας, ἐν ἀσθενείᾳ φύσεως, τὸ ἐπηρμένον θράσος τοῦ ἐχθροῦ θριαμβεύσας· καὶ νομίμως ἀθλήσας, μαρτυρικῆς εὐκλείας ἠξίωσαι, ἐν μεθέξει θείᾳ θεούμενος. Ἀλλ' ὡς ἔχων παρρησίαν πρὸς Κύριον, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος β΄.*

**Ν**εανίας ἄκακος, καὶ πλήρης πίστεως ὑπάρχων, τὴν κακίαν τοῦ ἐχθροῦ κατηγωνίσω, μαρτυρικῇ ἐνστάσει, Νεομάρτυς Μιχαήλ· τῇ γὰρ ἀπλάστῳ ψυχῇ σου, ἡ ἄνωθεν σοφία σκηνώσασα, δυνατόν σε εἰργάσατο, ἐν τῷ σταδίῳ τῆς ἀθλήσεως, ὡς ἔφη ὁ Σωτήρ· οὐδόλως γὰρ κατέπτηξας, τῶν τυράννων τὰς ἀπειλάς, εὐτόλμως βοῶν τοῖς ἀναιροῦσί σε· οὐ πτοοῦμαι τὸν θάνατον τὸν ζωῆς μοι ἀθανάτου πρόξενον· ὅτι Χριστὸς ἀοράτως μοι πάρεστι, τῶν Μαρτύρων ὁ στέφανος.

*Ἦχος γ΄.*

**Τ**ὸν τῆς ἀθλήσεως ἀγῶνα, ὑπελθὼν τελείῳ νοΐ, τὸν πολυμήχανον καθεῖλες ἐχθρόν, ἐν ἁπλότητι ψυχῆς, καὶ ἰσχύϊ θείᾳ, Μιχαὴλ Μάρτυς ἔνδοξε· τὴν γὰρ σωτήριον κλῆσιν ἀναφωνῶν, τοὺς δυσσεβεῖς κατήσχυνας, καὶ πίστεως τῆς θείας, τὴν ἐν μυστηρίῳ κεκρυμμένην λαμπρότητα, ἐμφανῆ πεποίηκας, ἀπεριτρέπτῳ στάσει σου· καὶ τῶν αἱμάτων τοῖς ῥεύμασι, τῆς ἀπάτης σβέσας τὴν φλόγα, τῶν εὐσεβῶν τὰς ψυχὰς κατήρδευσας, εὐσεβείας ἀναθάλλειν τοὺς καρπούς, καὶ τῷ Σωτῆρι κράζειν· Κύριε δόξα σοι.

*Ἦχος δ΄.*

**Σ**τρατευσάμενος Χριστῷ, ἐν πίστει καὶ ἀγάπῃ, τοῖς πάλαι Μάρτυσιν ἐφάμιλλος ὤφθης, ἐν ἀρετῆς ἰσότητι, καὶ θεοληπτῳ ψυχῇ, καὶ ἀθλητικῇ καρτερίᾳ· οὐδόλως γὰρ μακάριε, τοῦ ἐπελθόντος σοι ἐχθροῦ, τὰς ἐπινοίας ἐδειλίασας, ἀλλ' ἀπτοήτῳ καρδίᾳ ἀπώσω, ἐπαγγελιῶν τὰς χορηγίας, καὶ ἀπειλῶν καὶ ἀλγηδόνων τὰς ἐπαγωγάς, ὡς πλήρης θείου φρονήματος, καὶ τῶν γηΐνων ὑπέρτερος. Καὶ νῦν Χριστοῦ τῆς δόξης κοινωνῶν, ἀπαύστως ἱκέτευε, Νεομάρτυς Μιχαήλ, σώζεσθαι τοὺς σὲ μακαρίζοντας.

*Δόξα. Ὁ αὐτός*

Αγγελωνύμῳ κλήσει καλλωπιζόμενος, θεοπρεπῆ ἐπεδείξω σύνεσιν, καὶ ἀθλητικοῖς ἀγῶσι τὸν Χριστὸν ἐδόξασας, Μιχαὴλ παμμακάριστε· τῶν γὰρ ἐν κόσμῳ τὸν πόθον, καὶ νεότητος ἄνθος παρεῖδες, τὴν τοῦ Χριστοῦ ἀγάπην ὑπὲρ πάντα προκρίνας· καὶ οἰκείοις αἵμασι, τὴν στολὴν πορφυρώσας, τῆς ἄνω βασιλείας ἠξίωσαι, μαρτυρικῷ κοσμούμενος στέφει. Διὸ καὶ ἡμᾶς, τοὺς τὴν μνήμην σου τελοῦντας, πάσης ἐπηρείας ἀσινεῖς διάσωζε, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Εκ παντοίων τοὺς δούλους σου φύλαττε. Εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν στίχον στιχηρὰ Προσόμοια*

*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου*

Οτε συνεσχέθης ταῖς χερσί, Μάρτυς τῶν θελόντων συλῆσαι, τὸν τὴν ψυχῆς θησαυρόν, τότε γνώμῃ κρείττονι καὶ ἀπτοήτῳ ψυχῇ, τὸν Χριστὸν ὡμολόγησας, πολλῇ παρρησίᾳ, καὶ ἀπλάστοις ἤθεσι, μὴ πτήξας βάσανα. Ὅθεν καὶ νομίμως ἀθλήσας, Μιχαὴλ Μαρτύρων τῆς δόξης, ὤφθης κοινωνὸς καὶ ἰσοστάσιος.

*Στιχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος...*

Ολην τὴν διάνοιαν Χριστῷ, ἔχων ἀνενδότῳ ἐφέσει, οὐδόλως ἔφριξας, θράσος ἐπαιρόμενον, καὶ τὴν μανίαν ἐχθρῶν, Μιχαὴλ παναοίδιμε, ἀλλ' ἄτρεπτος ἔστης, πίστει καὶ ἁπλότητι, βοῶν τοῖς τύπτουσι· Πλήξατε καιρίως τῷ ξίφει, ἵνα τὸ ταχύτερον φθάσω, οὗ ἡ βασιλεία ἀδιάδοχος.

*Στιχ. Πεφυτευμένος ἐν οἴκῳ Κυρίου, ἐν ταῖς αὐλαῖς τοῦ θεοῦ...*

Χαίροις Νεομάρτυς Μιχαήλ, ἄνθος Ἀθηνῶν πανευῶδες, εὐωδιάζον πιστούς, πίστεως καὶ χάριτος, ὀσμῇ τῇ κρείττονι, ἡ πολλῇ ἐν ἁπλότητι, καὶ θείᾳ δυνάμει τὸν ἐπιδραμόντα σοι ἑλὼν πολέμιον, πίστεως ἁγίας τοῖς ὅπλοις, καὶ ἀθλητικῇ εὐσθενείᾳ· ἔνθεν οὐρανίου δόξης ἔτυχες.

*Δόξα. Ἦχος πλ. δ'.*

Εν ἀσθενείᾳ φύσεως, τὸν ἰσχυρὸν ἐν κακίᾳ ἐχθρόν, ἐπελθόντα σοι δολίως, ἀθλητικῶς κατεπάλαισας, Μιχαὴλ ἀξιάγαστε· ἡ γὰρ δύναμις Χριστοῦ, ὃν ὁλοψύχως ἠγάπησας, ἐν σοὶ ἄρτι ἐθριάμβευσεν, ἡ τοῖς πάλαι Μάρτυσιν, ἐργασαμένη παράδοξα· μιμητὴς γὰρ αὐτῶν, ἐν ἄθλοις ἐδείχθης, σ' αὐτὸν



ἀπαρνησάμενος. Καὶ νῦν σὺν αὐτοῖς, Χριστοῦ τῆς δόξης κατατρυφῶν, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν.Θεοτοκίον*

Ανύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν ἱκετῶν παρακλήσεις δέχου Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων, καὶ νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις τό τρισάγιον καί τό Ἀπολυτίκιον*

*Ἦχος δ'. Ταχὺ προκατάλαβε*

Νεότητι σώματος, τὸν παλαμναῖον ἐχθρόν, ἀθλήσας κατέβαλες, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, τμηθεὶς τὸν αὐχένα σου. Ὅθεν τῶν Ἀθηναίων, ἡ περίδοξος πόλις, μέλπει τὴν ἄθλησίν σου, Μιχαὴλ Νεομάρτυς· ἐκ ταύτης γὰρ ὡς ἄνθος, εὐῶδες ἐβλάστησας.

*Θεοτοκίον*

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον...

*Ἀπόλυσις.*

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

*Μετά τήν α'. Στιχολογίαν, Κάθισμα.*

*Ἦχος α'. Τόν τάφον σου Σωτήρ.*

Τήν πίστιν τοῦ Χριστοῦ, ὡς ἀσύλητον ὄλβον, κατέχων ἀσφαλῶς, τῆς ψυχῆς τῷ ταμείῳ, ἀθλῆσαι προτετίμηκας, ὑπὲρ ταύτης μακάριε· ὅθεν ᾔσχυνας, τὸν ἐπελθόντα ἐχθρὸν σοι, καὶ ἠρίθμησαι, ὦ Μιχαὴλ Νεομάρτυς, Μαρτύρων ταῖς τάξεσι.

*Θεοτοκίον*

Τὸν πάντων Ποιητήν, καὶ Θεὸν καὶ Δεσπότην, κυήσασα σαρκί, Θεοτόκε Παρθένε, τὴν φύσιν τὴν ἀνθρώπινον, ἐκ φθορᾶς πρὸς τὴν ἄφθαρτον, δόξαν ὕψωσας, τῷ ὑπὲρ νοῦν τοκετῷ σου· ὅθεν ὕψωσον, τὴν πεπτωκυῖαν ψυχήν μου, πρὸς θείαν ἀγάπησιν.

*Μετά τήν β'.Στιχολογίαν, Κάθισμα*

*Ἦχος πλ. α'.Τόν συνάναρχον Λόγον*

Εὐσεβείας τοῖς τρόποις καλλωπιζόμενος, καὶ ἁπλότητι Μάρτυς καὶ ἀκακίᾳ ψυχῆς, τὸν ἀγῶνα τὸν καλὸν νομίμως ἤνυσας, καὶ ἀνέτειλας ἡμῖν, ὡς ἀστὴρ νεοφανής, εὐφραίνων τῇ σῇ ἀθλήσει, ὦ Μιχαὴλ Νεομάρτυς, τῶν εὐσεβούντων τὰ συστήματα.

*Θεοτοκίον*

Ἐκ γαστρός σου ἀχράντου ὁ πάντων Κύριος, ὁμοιωθεὶς δι' ἀγάπην τῇ ἀνθρωπίνῃ μορφῇ, προελήλυθεν ἡμῖν Θεοχαρίτωτε, μὴ δεξάμενος τροπήν, ἀλλὰ μείνας ὅπερ ἦν, καὶ ἔσωσε τῆς κατάρας τοὺς ἀνυμνοῦντας Παρθένε, τὴν ἀκατάληπτόν σου γέννησιν.

*Μετά τόν πολυέλεον,Κάθισμα,*

*Ἦχος πλ. δ'. Τήν Σοφίαν καί λόγον.*

Ἐν ἁπλότητι τρόπων τὸ θεῖον πῦρ, τῆς ἀγάπης Κυρίου ὃ ἐν ψυχῇ, κατεῖχες μακάριε, ὑπεμφαίνων τρανότατα, ἀκλόνητος ἐδείχθης, ἐχθροῦ ἐπιθέσεσι, μηδόλως καταπτήξας τυράννων φρυάγματα· ὅθεν καὶ τῷ ξίφει, ἐκτμηθεὶς τὸν αὐχένα, μαρτύρων ἠξίωσαι τῆς εὐκλείας καὶ χάριτος, Μιχαὴλ ἀξιάγαστε· μεθ' ὧν ἀεὶ δυσώπει Χριστόν, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.



*Θεοτοκίον*

Ὁ τὰ πάντα ποιήσας ἐκ μηδενός, καὶ πανσόφως συνέχων καὶ συντηρῶν, ἀφράστως, σεσάρκωται, ἐξ ἀχράντων αἱμάτων σου, καὶ νήπιον ὡράθη, καὶ ἄνθρωπος γέγονε, καὶ ἔσωσε τὸν κόσμον, δι' ἄφατον ἔλεος. Ὅθεν Θεοτόκε, ὡς Θεοῦ σε Μητέρα ὁμοῦ καὶ παρθένον τε, πανακήρατον σέβομεν, καὶ ὑμνοῦντες βοῶμεν σοι· χαῖρε τῶν ἀνθρώπων χαρά, καὶ Ἀγγέλων θεῖον ἀγαλλίαμα, καὶ ἡμῶν προστασία, καὶ πάντων βασίλισσα.

*Τό α'. ἀντίφωνον του δ'. ἤχου καί τό προκείμενον.*

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται

*Στιχ. πεφυτευμένος ἐν οἴκῳ Κυρίου...*

*Εὐαγγέλιον τό ἐν τῷ ὄρθρῳ τοῦ Ἁγ. Γεωργίου.*

*Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου...*

*Καί νῦν. Ταῖς τῆς Θεοτόκου...*

*Ἰδιόμελον. Ἦχος πλ. β'.*

*Στιχ. Ἐλέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου...*

Ἀθλητικῇ παρρησίᾳ ᾔσχυνας, τὸν ἐν κακίᾳ φρυαττόμενον ἐχθρόν, Μιχαὴλ Μάρτυς ἀήττητε· εἰσεβείᾳ γὰρ τραφείς, τὴν ταύτης ἔγνως δύναμιν, ἐν τῇ ἀπλάστῳ σου ζωῇ, καὶ τοῖς πᾶσιν ὑπέδειξας, ὅτι ἐν εὐθείαις ψυχαῖς, τὸ θεῖον Πνεῦμα οἰκεῖ, καὶ ἐνεργεῖ τοῖς ζῶσιν ἀμέμπτως. Ἀλλ' ὡς Μαρτύρων συμμέτοχος, σὺν αὐτοῖς ἀεὶ πρέσβευε, δίδοσθαι ἡμῖν εἰρήνην, καὶ πταισμάτων ἄφεσιν.

*Σῶσον ὁ Θεός τόν λαόν σου...*

*Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καί τοῦ Ἁγίου.*

*Οὗ ἡ ἀκροστιχίς*

*<<Μιχαήλ μέλπω τόν Ἀθηναῖον. Γερασίμου >>*

*Ὠδή α'. Ἦχος δ'. Ἀνοίξω τό στόμα μου*

Μονὰς τρισυπόστατε, Πάτερ Υἱὲ Πνεῦμα Ἅγιε, Τριὰς ὁμοούσιε, λόγον μοι βράβευσον, Νεομάρτυρος, τοῦ Μιχαὴλ πρεσβείας, καὶ μέλψω γηθόμενος, τούτου τὴν ἄθλησιν.

Ἰσχύϊ τῆς πίστεως, κραταιωθεὶς χαίρων ἤνυσας, Μαρτύρων τὸ στάδιον, ὥρᾳ νεότητος, καὶ κατέβαλες, τὸν δράκοντα τὸν μέγαν, ἀθλήσεως σκάμμασι, Μιχαὴλ Ἅγιε.

Χριστὸν ἐν καρδίᾳ σου, φέρων ζωῆς καθαρότητι, ἁπάντων ἠλόγησας, τῶν ἐν τῷ κόσμῳ τερπνῶν, καὶ συμμέτοχος, τῆς ἄνω βασιλείας, ἀθλήσας στερρότατα, Μιχαὴλ γέγονας.

*Θεοτοκίον*

Ασπόρως συνέλαβες, ἀδιαφθόρως δὲ τέτοκας, τὸν πάντων δεσπόζοντα, δι' εὐσπλαχνίαν πολλήν, ὕλῃ σώματος, Παρθένε Θεοτόκε· διὸ τῶν τοῦ σώματος, παθῶν με κάθαρον.

*Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.*

Ηπόλις σε Μάρτυς Ἀθηναίων, γεραίρει ὡς ἔνθεον βλαστόν, καὶ Μάρτυρα ἀήττητον, Χριστοῦ τοῦ Παντοκράτορος, ὦ Μιχαὴλ ἐν ᾄσμασιν, ἐπιτελοῦσα τὴν μνήμην σου.

Λαμπρύνας τὸ ὄμμα τῆς ψυχῆς σου, ἀμέμπτῳ ζωῇ καὶ καθαρᾷ., ἀθλητικῶς ἐστράτευσαι, τῷ βασιλεῖ τῆς κτίσεως, ὦ Μιχαὴλ καὶ τέθνηκας, ὑπὲρ αὐτοῦ ἀγαλλόμενος.

Μαρτύρων τῶν πάλαι τὴν ἀνδρείαν, ζηλώσας θεόφρον Μιχαήλ, μαρτυρικῶς ἠγώνισαι, ἐν ἄνθει νεότητος, καὶ ἤσχυνας τοῖς ἄθλοις σου, τὸν παλαιὸν κοσμοκράτορα.

*Θεοτοκίον*

Ετέχθη ἁγνῶν σου ἐκ λαγόνων, μορφῇ βροτησίᾳ ὑπὲρ νοῦν, ὁ Ποιητὴς τῆς κτίσεως, ἡμᾶς ἀνακαλούμενος, πρὸς τὴν ἀρχαίαν εὔκλειαν, Θεογεννῆτορ Πανάμωμε.

*Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε*

Υπῆλθες τὸ στάδιον, τοῦ μαρτυρίου στερρῶς, καὶ πλάνην κατήσχυνας, τὴν τῶν ἀπίστων ἐχθρῶν, γενναίᾳ ἐνστάσει σου. Ὅθεν σε Νεομάρτυς, Μιχαὴλ ὁ Δεσπότης, δόξης τῆς οὐρανίου, κληρονόμον δεικνύει, ὡς κοινωνὸν τοῦ πάθους αὐτοῦ δι' ἀθλήσεως.

*Θεοτοκίον*

Υψίστου παλάτιον, τοῦ προελθόντος ἐκ σοῦ, καὶ θρόνος πυρίμορφος, καὶ φωτοφόρος ναός, ἐδείχθης Πανάχραντε· ὅθεν μου τὴν καρδίαν, ἀποκάθαρον Κόρη, πάσης ἀκαθαρσίας, καὶ ἀνάδειξον ταύτην, δοχεῖον Θεοτόκε, τῆς ἄνω λαμπρότητος.

*Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον Θείαν βουλὴν*

Λάμπων ἐν ἁπλότητι Μάρτυς πολλῇ, τοῦ ἐχθροῦ τὸν δόλον διέγνωκας, σοφίᾳ θείᾳ καὶ τὰς τούτου μηχανάς, ὦ Μιχαὴλ συνέτριψας, τῇ ἀπεριτρέπτῳ ἐνστάσει σου.



Πόνους ὑπερεῖδες τοὺς τῆς σαρκός, καὶ θυμὸν τυράνων τὸν ἄλογον, καὶ ἐβόας· Τοῦ Χριστοῦ δοῦλός εἰμι, ὑπὲρ οὗ καὶ τὸν θάνατον, ὡς ζωὴν ἀθάνατον δέχομαι.

Ωφθης ἐν ὑστέροις χρόνοις σοφέ, Μάρτυς τοῦ Σωτῆρος ἀήττητος. Ὅθεν ἡ πόλις, Ἀθηναίων Μιχαήλ, ἀνευφημεῖ τοὺς ἄθλους σου, τῇ σῇ καυχωμένη λαμπρότητι.

*Θεοτοκίον*

Τὸν σὸν ἀκατάληπτον τόκον Ἁγνή, τάξεις ὑπερκόσμιοι μέλπουσι, δέει καὶ πίστει, καὶ ἀνθρώπων οἱ χοροί· ὅτι Θεὸν ἐκύησας, τὸν τὰ διεστῶτα συνάψαντα.

*Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.*

Ο νοῦς σου ἁπλότητι, σοφὲ καλλωπιζόμενος, ἔσχηκε τὴν ἄνωθεν σοφίαν, χειραγωγοῦσαν ἐπὶ τὰ κρείττονα· ὅθεν καὶ πρὸς τρίβον ἀσφαλῆ, τῆς καλῆς ἀθλήσεως, ἀπλανῶς σε ὡδήγησε.

Νεότητι σώματος, τὴν ψυχικὴν στερρότητα, ἄτρεπτον ὑπέδειξας τοῖς πᾶσι· καὶ τῷ ἀσάρκῳ μετὰ σαρκὸς συμπλακείς, τούτου κατηκόντισας εἰς γῆν, θράσος τὸ ὀλέθριον, Μιχαὴλ τῇ ἀθλήσει σου.

Ανώτερος πέφηνας, ὡς πλήρης θείας χάριτος, ἐπαγγελιῶν τῶν φθειρομένων, πρὸς τὰς ἀφθάρτους κατεπειγόμενος, Μάρτυς Μιχαὴλ διαμονάς, ὧν ἀξίως ἔτυχες, ἐκτελέσας τὸν δρόμον σου.

*Θεοτοκίον*

Θεοῦ ἐνδιαίτημα, περιφανὲς καὶ πάμφωτον, τοῦ ἐκ σοῦ τεχθέντος ἀπορρήτως, Θεογεννῆτορ Παρθένε γέγονας· ὅθεν κ ἀμὲ δεῖξον τῆς αὐτοῦ, σκεῦος θείας χάριτος, διὰ βίου σεμνότητος.

*Ὠδὴ στ'. Τὴν Θείαν ταύτην*

Ησχύνθη Μάρτυς καὶ πέπτωκεν, ὁ δράκων Μιχαὴλ τῇ ἀθλήσει σου, ἡ Ἐκκλησία δέ, Χριστοῦ εὐφράνθη δοξάζουσα, τὸν ἄνωθεν ἰσχὺν σοι, θείαν βραβεύσαντα.

Νέος ὠράθης ἐν Μάρτυσιν, ἀθλήσας ἐν ὑστέροις τοῖς ἔτεσι, στερρῷ φρονήματι, καὶ ἴσων τούτοις ἐπέτυχες, ὦ Μιχαὴλ βραβείων, ἐκ τοῦ Παντάνακτος.

Ἄνθος νεότητος ἔλιπες, καὶ ἴχνεσι Χριστοῦ ἠκολούθησας, πόνοις ἀθλήσεως· ὅθεν τῆς ἄνω λαμπρότητος, ὦ Μιχαὴλ μετέσχες, φωτὸς πληρούμενος

*Θεοτοκίον*

Ἰσχὺν μοι θείαν καὶ δύναμιν, χορήγει Θεοτόκε ἑκάστοτε, πατεῖν τοῦ ὄφεως τὰ πονηρὰ μηχανήματα, δι' ὧν μοι ἐπιφέρει, φθορὰν καὶ ὄλεθρον.

*Κοντάκιον Ἦχος δ'. Ἐπεφάνης σήμερον*

Εὐσεβείας ἤθεσι κεκοσμημένος, μαρτυρίου ἤνυσας, τὸ θεῖον σκάμμα Μιχαήλ, καὶ ἐκ χειρὸς τοῦ Παντάνακτος, τὸν τῆς ἀθλήσεως στέφανον εἴληφας.

*Ὁ Οἶκος*

Βίον ἔχων αὐτουργόν, καὶ ζῶν ἐν εὐσεβείᾳ, καὶ τὸν Θεὸν φοβούμενος, ὡς Ἄβελ ὁ κλεινός, καὶ λατρεύων αὐτῷ ἐν πίστει καὶ ἀληθείᾳ, πρὸς μαρτυρίου ἀνελήλυθας ἀκρότητα, ἀθλητικῶς ἀγωνισάμενος, Μιχαὴλ μακάριε· ὑπὸ τῶν υἱῶν γὰρ τῆς Ἄγαρ συσχεθείς, καὶ πρὸς ἐξόμοσιν ποικίλως ἐκβιασθείς, ἀμετακίνητος ὤφθης ἐκ τῆς εὐσεβοῦς ὁμολογίας, μὴ δελεασθεὶς δωρεῶν παροχαῖς, μηδὲ πτοηθεὶς βασάνων ἀπειλαῖς, ἀνώτερος πάντων γενόμενος, ἐν τῇ δυνάμει τῆς πρὸς Χριστὸν πίστεως· καὶ τῶν πάλαι Ἀθλητῶν μιμητὴς ἀναφανείς, εὐτόλμως τὸν αὐχένα τέτμησαι, καὶ ἐκ χειρὸς τοῦ Παντάνακτος τὸν τῆς ἀθλήσεως στέφανον εἴληφας.

*Συναξάριον*

Τῇ θ'., τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ἁγίου ἐνδόξου Νεομάρτυρος Μιχαὴλ τοῦ ἐξ Ἀθηνῶν, τοῦ καὶ κηπουροῦ, ἐν αὐτῇ δὲ τῇ πόλει μαρτυρήσαντος ἐν ἔτει αψο' (1770).

Στίχ. Τί κατ' ὀλίγον λαιμὸν ὦ σπαθηφόρε

Τέμνεις; Μιχαὴλ οὐ πτοεῖται τὴν σπάθην.

Ἐνάτῃ Μιχαὴλ κείρατο αὐχένα χαλκὸς ἀτειρής.

Οὗτος ὥρμητο ἐκ τῆς πόλεως Ἀθηνῶν, τὸν δέκατον καὶ ὄγδοον τῆς ἡλικίας ἐνιαυτὸν ἄγων, εὐσεβὴς καὶ τὸν Θεὸν φοβούμενος, Πακνανᾶς τουπίκλην καλούμενος. Ἦν τὸ ἐπάγγελμα κηπουρός, ἐξ οὗ τὰ πρὸς τὸ ζῆν ἀναγκαῖα ἐπορίζετο, ζῶν ἐν λιτότητι καὶ πτωχείᾳ. Ἐν μιᾷ τῶν ἡμερῶν, εἰσερχόμενον τὰς πύλας τῆς πόλεως, οἱ τὰς φυλακὰς αὐτῶν ἐμπεπιστευμένοι, φθόνῳ κινούμενοι, ἐκράτησαν αὐτὸν λέγοντες, ὅτι οὗτος λάθρα κομίζει τοῖς ἐν ὄρεσιν ἁρματωλοῖς πυρῖτιν, κατασυκοφαντοῦντες αὐτόν, καὶ ἐνέκλεισαν τῇ



εἱρκτῇ δέσμιον· ἦν δὲ ὁ μακάριος λίαν ἁπλοῦς καὶ ἄκακος καὶ ἀκέραιος· καὶ ποικίλως βασανισθεὶς ἵνα τὸ τοῦ Σωτῆρος ὄνομα ἀρνήσηται, ἔστη ἑδραῖος καὶ ἀκλόνητος τῇ καλῇ ὁμολογίᾳ, ὑπερορῶν καὶ ἀλγηδόνας, καὶ ἄνθος νεότητος, καὶ θυμὸν τυράννων, καὶ πᾶν προσαγόμενον ἀγαθόν, τῇ τοῦ Χριστοῦ ἐρηρεισμένος ἀγαπήσει. Παρελθουσῶν τριάκοντα ἡμερῶν, ἐξήχθη τῆς φυλακῆς· καὶ παραστὰς τοῖς ἀντικειμένοις, ὡμολόγησεν αὖθις ἑαυτὸν Χριστιανόν· οἵτινες ἰδόντες τὸ ἀμετάθετον τῆς γνώμης, καὶ ὅτι πάντων ὑπερορᾷ, μηδὲν ὑφορώμενος, ἔδωκαν τὴν κατ' αὐτοῦ ἀπόφασιν, ἵνα θανατωθῇ· καὶ ξίφει ἀποτμηθεὶς τὸν αὐχένα, ἀνῆλθε στεφηφόρος εἰς τὰ οὐράνια, μαρτυρικῷ στέφει κοσμηθείς, καλῶς τὸν ἀγῶνα τῆς ἀθλήσεως τετελεκώς.

Ταῖς αὐτοῦ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

*Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.*

Οὐκ ἐνέδωκας, ταῖς ἀπειλαῖς μακάριε, καὶ ὑποσχέσεσι, τῶν ἀντιπάλων ἐχθρῶν, Χριστὸν ἔχων δύναμιν, καὶ πλοῦτον ἄσυλον, ᾧ καὶ ἔψαλλες· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νόμῳ κρείττονι, τὸν νοῦν σου τειχιζόμενος, Μιχαὴλ ἔνδοξε, τὰς τῶν ἀνόμων βουλάς, καὶ νοῦν τὸν ἀλάστορα, ἐμφρόνως ᾔσχυνας, καὶ διήνυσας, ἀθλητικῇ στερρότητι, τῆς ἀθλήσεως τὸν δρόμον.

Γέλως πρόκειται, ὁ μέγα φυσιούμενος, ἐχθρὸς ὁ δόλιος, ὡς ἡττηθεὶς τῇ στερρᾷ, ἀθλήσει σου Ἅγιε, καὶ τῇ ἁπλότητι, τῇ τῶν λόγων σου, ἐχόντων θείαν δύναμιν, καὶ τὴν ἄνωθεν σοφίαν.

*Θεοτοκίον*

Ἐλυτρώθημεν, τῆς πάλαι παραβάσεως, Ἁγνὴ τῷ τόκῳ σου· σὺ γὰρ τὸν πάντων Θεόν, ἀφράστως ἐκύησας, τὸν καταλύσαντα, τὴν ὀλέθριον ὀφρῦν τοῦ πολεμήτορος, καὶ ζωὴν πᾶσι διδόντα.

*Ὠδὴ η'. Παῖδας εὐαγεῖς*

Ῥείθροις τῶν ἁγίων σου αἱμάτων, τῆς πλάνης τὰς ἀναβλύσεις ἀπεξήρανας, καὶ τὴν γῆν ἡγίασας, Ἀθηνῶν μακάριε, καὶ ἅπασαν ἐδρόσισας πιστῶν διάνοιαν· διὸ σε Μιχαὴλ Νεομάρτυς, ὥσπερ ἀριστέα, Χριστοῦ ὑμνολογοῦμεν.

Ανω τῆς ψυχῆς ἔχων τὸ ὄμμα, καὶ σπεύδων ἐπὶ τὸ τέλος τὸ μακάριον, πλήρης θείας χάριτος, καὶ χαρᾶς τῆς κρείττονος, ἐφαίνου τοῖς ὁρῶσί σε Μιχαὴλ Ἅγιε, καὶ κλίνας τὸν αὐχένα προθύμως, ἤρθης εὐφροσύνως, πρὸς δόξαν τὴν ἀγήρω.

Στήσας τῆς καρδίας σου τὰς βάσεις, ἑδραίως τῷ θεμελίῳ τῷ τῆς πίστεως, ἀκλινὴς διέμεινας, μάκαρ καὶ ἀκλόνητος, ταῖς χαλεπαῖς προσπνεύσεσι τοῦ πολεμήτορος, καὶ βάσις καὶ ἑδραίωμα ὤφθης, τῶν κλονιζομένων, ταῖς τοῦ ἐχθροῦ ἀπάταις.

*Θεοτοκίον*

Ινα τῆς ἀρχαίας καταδίκης, λυτρώσηται ὁ Θεὸς Ἁγνὴ τὸν ἄνθρωπον, ἄνθρωπος ἐγένετο, ἐξ ἁγνῶν αἱμάτων σου, καὶ πρὸς ζωὴν ἀνήγαγεν ἐκ τῆς θανάτου φθορᾶς, τοὺς πίστει ἀνυμνοῦντας Παρθένε, τῆς κυοφορίας, τῆς σῆς τὸ μέγα θαῦμα.

*Ὠδὴ Θ'. Ἅπας γηγενής.*

Μάρτυς ἀληθής, ὑστέροις ἐν ἔτεσι τοῦ Παντοκράτορος, ὡς ἀθλήσας ἄριστα, καὶ καταλύσας ἐχθρῶν τὴν ἔπαρσιν, ἐδείχθης καὶ ἐφαίδρυνας τὴν Ἐκκλησίαν Χριστοῦ, Νεομάρτυς, Μιχαὴλ μακάριε· διὰ τοῦτο τιμᾷ σου τὴν ἄθλησιν.

Ο νεοφανής, ὁπλίτης τῆς πίστεως, καὶ μάρτυς ἔνθεος, τῶν παθῶν τοῦ Κτίσαντος, τῶν Ἀθηναίων τὸ θεῖον καύχημα, δίδου ἡμῖν πρεσβείαις σου εἰρήνην ἄνωθεν, εὐπραγίαν καὶ τὸ θεῖον ἔλεος, τῇ Ἑλλάδι ἀεὶ ἐξαιτούμενος.

Υψωσον Χριστῷ, τὰς χεῖράς σου, Ἅγιε, ὑμῖν αἰτούμενος, τῶν παθῶν τὴν ἴασιν, καὶ τῶν πταισμάτων τὴν ἀπολύτρωσιν, τοῖς εὐλαβῶς τὴν μνήμην σου πανηγυρίζουσι, καὶ ὡς δῶρον, πρόσδεξαι τὸν ὕμνον μου, τὴν σὴν χάριν ἀεὶ ἐπορέγων μοι.

*Θεοτοκίον*

Υψωσον ἡμᾶς, ἐκ λάκκου Πανάχραντε, τῶν παραβάσεων, καὶ ἐν πέτρᾳ στήριξον, τῆς μετανοίας καὶ καθαρότητος, ὡς ἂν ζωὴν ἐνάρετον πολιτευσώμεθα, καὶ τῆς ἄνω, μέτοχοι γενώμεθα, αἰωνίου ζωῆς ταῖς πρεσβείαις σου.

*Ἐξαποστειλάριον. Τῶν Μαθητῶν ὁρώντων σε*

Τοῦ μαρτυρίου ἤνυσας τὸν ἀγῶνα, καὶ τοῦ ἐχθροῦ καθεῖλες τὴν δυναστείαν, τῇ τοῦ Χριστοῦ δυνάμει τε καὶ χάριτι, ὦ Μιχαὴλ πανεύφημε· διὸ σε ἀνευφημοῦμεν, ὡς Ἀθλητὴν νικηφόρον.



*Θεοτοκίον*

Τὸν σαρκωθέντα Λόγον ἀναλλοιώτως, ἐκ τῶν ἁγνῶν αἱμάτων σου Θεοτόκε, αἴτει ἀναλλοίωτον καὶ ἄτρεπτον, ἐχθροῦ τοῖς δελεάσμασι, τηρεῖσθαί μου τὴν καρδίαν, ἵνα ὑμνῶ σε Παρθένε.

*Εἰς τοὺς Αἴνους*

στῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια

*Ἦχος α.' Πανεύφημοι Μάρτυρες.*

Πανεύφημε Μάρτυς τοῦ Χριστοῦ, Μιχαὴλ μακάριε, τῆς εὐσεβείας τὴν ἔλλαμψιν, ἐν τῇ καρδίᾳ σου, φέρων τῆς ἀπάτης, ἔλυσας τὸν σύνδεσμον, ἁπλότητι καὶ λόγων στερρότητι, καλλωπιζόμενος· διὰ τοῦτο σε ὁ Κύριος, αἰωνίου δόξης κατηξίωσε.

Ανδρείως ἀντέστης τοῖς ἐχθροῖς, καὶ Χριστοῦ τὸ ὄνομα, ἀθλητικαῖς σου ἐνστάσεσι, λαμπρῶς ἐδόξασας, Μιχαὴλ παμμάκαρ· τούτου γὰρ τὸν θάνατον, ἐζήλωσας σ' αὐτὸν ἀρνησάμενος, καὶ πρὸς ἀθάνατον, βασιλείαν καὶ λαμπρότητα, εὐφροσύνως ἀνέδραμες, Ἅγιε.

Τμηθεὶς τὸν αὐχένα Μιχαήλ, ἀνδρικῷ φρονήματι, πλάνης ἀκάνθας ἐξέτεμες, καὶ τοῖς σοῖς αἵμασι, τὰ τῆς Ἐκκλησίας, ἤρδευσας βλαστήματα, βλαστάνειν, ἀληθείας τὰς χάριτας, καὶ συνηρίθμησαι, τῶν Μαρτύρων τοῖς στρατεύμασι, ὡς ἐν πᾶσιν αὐτῶν ἰσοστάσιος.

Ως βλάστημα θεῖον καὶ τερπνόν, Ἀθηναίων πόλις σέ, καὶ εὐκλεῆ Νεομάρτυρα, γεραίρει σήμερον, Μιχαὴλ θεόφρον, καὶ τὴν θείαν μνήμην σου, τελοῦσα ὁμοφώνως κραυγάζει σοι· Ἐξαίτει Ἅγιε, τῇ πατρίδι σου δωρήσασθαι, τὴν εἰρήνην, καὶ τὸ θεῖον ἔλεος.

*Δόξα. Ἦχος πλ. α'.*

Εὐσεβείας τῷ φωτί, τὰς σὰς πορείας κατευθύνων, τὰ τοῦ σκότους σκάνδαλα πέφευγας, ἐν ἁπλότητι ψυχῆς, καὶ φρονήσει θείᾳ, ἀγγελώνυμε Μάρτυς· οὐδόλως γὰρ ἐκάμφθης, ταῖς ἐπινοίαις τοῦ ἐχθροῦ, ἀλλ' ἀνενδότῳ καρδίᾳ τὸν ὑπὲρ Χριστοῦ ἀνεδέξω ἀγῶνα, ἀποστὰς τῶν ἐν ὕλῃ· καὶ τὸ σῶμα δεδωκὼς τοῖς διώκουσιν, ὡς ἱερεῖον ἄμωμον, σαυτὸν προσήγαγες, τῷ ἀθλοθέτῃ Κυρίῳ. Ἀλλ' ὦ Νεομάρτυς Μιχαήλ, σὺν Ἀθληταῖς ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

*Καί νῦν. Θεοτοκόν*

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία μεγάλη καί ἀπόλυσις*

*Εἰς τὴν Λειτουργίαν*

Τὰ τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ'. καὶ στ'. ᾠδή.

Ἀπόστολον ζήτει τῇ β'. Σεπτεμβρίου, Εὐαγγέλιον τῇ Τετάρτῃ τῆς γ'. Ἑβδομάδος Ματθαίου.

*Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...*

*Μεγαλυνάριον.*

Χαίροις Ἀθηναίων εὖχος σεμνόν, Μιχαὴλ Θεόφρον, Νεομάρτυς τοῦ Ἰησοῦ· ὃν ἀεὶ δυσώπει, ὑπὲρ τῶν ἐκτελούντων, τὴν μνήμην σου τὴν θείαν, καὶ εὐφημούντων σε.

*Δίστιχον.*

Δέξαι Μιχαὴλ Νεομάρτυς Κυρίου
Ὃν σοι ὁ Γεράσιμος ὕφανεν ὕμνον.



## Κανὼν παρακλητικὸς εἰς τὸν Ἅγιον Νεομάρτυρα Μιχαὴλ τὸν ἐξ Ἀθηνῶν. Ποίημα Γερασίμου Μοναχου- Μικραγιαννανίτου.

*Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον, μεθ' ὃ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:*

*Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Ὡς ἐναθλήσας ἀνενδότῳ καρδίᾳ, τῆς τῶν Μαρτύρων ἠξιώθης εὐκλείας, ὦ Νεομάρτυς Μιχαὴλ μακάριε· ὅθεν καθικέτευε, πάσης ρύεσθαι βλάβης, καὶ παθῶν καὶ θλίψεων, καὶ παντοίων κινδύνων, τοὺς τῇ σεπτῇ πρεσβείᾳ σου πιστῶς, προσερχομένους, καὶ πόθῳ τιμῶντας σε.

*Δόξα, τό αὐτό.*

*Καί νῦν Θεοτοκίον*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Ὁ Ν'. καί, ὁ κανών οὗ ἡ ἀκροστιχίς.*

«Μιχαὴλ ῥῦσαι ἡμᾶς κινδύνων. Γερασίμου».

*Ὠδή α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.*

Μαρτύρων ἰσότιμος γεγονώς, Μιχαὴλ παμμάκαρ, καθικέτευε ἐκτενῶς, πταισμάτων ἡμῖν διδόναι λύσιν, καὶ εἰρηναίαν ἐν βίῳ κατάστασιν.

Ἰσχὺν ἡμῖν αἴτει παρὰ Χριστοῦ, ἐχθροῦ τοῦ σκοτίου, καταλύειν τὰς μηχανάς, Μιχαὴλ Θεόφρον Νεομάρτυς, καὶ κατισχύειν δεινῶν περιστάσεων.

Χαρᾶς ἀνεκφράστου ὢν κοινωνός, Μιχαὴλ θεόφρον, πάσης λύπης ὀδυνηρᾶς, ῥῦσαι τοὺς πιστῶς σοι προσιόντας, μαρτυρικῇ σου πρεσβείᾳ πρὸς Κύριον.

*Θεοτοκίον*

Αφράστως τεκοῦσα τὸν Ποιητήν, Κεχαριτωμένη, Πανευλόγητε Μαριάμ, αὐτὸν ἐκδυσώπει οἷα Μήτηρ, τῆς τῶν παθῶν τυραννίδος ρυσθῆναί με.

*Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος*

Η θερμή σου πρεσβεία, πρὸς τὸν Χριστὸν Ἅγιε, τεῖχος ἀσφαλείας γενέσθω, ἡμῖν καὶ στήριγμα, ἀποδιώκουσα, πᾶσαν φθοράν τε καὶ βλάβην, ἀφ' ἡμῶν ἑκάστοτε, τῶν εὐφημούντων σε.

Λαμπρυνόμενος φέγγει, τῆς τριλαμποῦς λάμψεως, οἷα Νεομάρτυς Κυρίου, ἀξιοθαύμαστος, σκότους τῶν θλίψεων, καὶ ζοφερῶν παθημάτων, Μιχαὴλ ἀπάλλαξον, ἡμᾶς πρεσβείαις σου.

*Θεοτοκίον*

Υψηλότατος θρόνος, καὶ φωταυγὲς σκήνωμα, τοῦ Παμβασιλέως τῆς δόξης, ὤφθης Πανάχραντε, τοῦτον κυήσασα, ἐκ τῶν ἁγνῶν σου αἱμάτων· ὃν ἡμῖν ἱλέωσαι, τοῖς σὲ δοξάζουσι.

Διάσωσον ὦ Μιχαὴλ Νεομάρτυς ἠγλαϊσμένε, πάσης βλάβης ταῖς πρὸς Θεὸν ἱκεσίαις σου, τοὺς καταφεύγοντας πόθῳ τῇ σῇ πρεσβείᾳ.

Επίβλεψον ἐν εὐμενείᾳ...

*Αἴτησις καὶ τὸ Κοντάκιον.*

*Ἦχος β'. Πρεσβεία θερμή.*

Αθλήσας καλῶς, ὡς νεανίας ἔνθεος, πολλῶν ἀμοιβῶν, παρὰ Χριστοῦ ἠξίωσαι, ὦ πρέσβευε δεόμεθα, Μιχαὴλ Νεομάρτυς μακάριε, ἐπερχομένων λυτροῦσθαι δεινῶν, τοὺς πόθῳ τιμῶντάς σου τὴν ἄθλησιν.

*Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.*

Συντριβέντας τοῖς πάθεσι, Μιχαὴλ παμμάκαρ ἡμᾶς θεράπευσον, μεσιτείαις σου πρὸς Κύριον, δι' ὃν προθυμότατα ἐνήθλησας.

Αθηναίων ἡ πόλις σε, Μιχαὴλ γεραίρει ὡς θεῖον βλάστημα, ἢ ἐξαίτει θεῖον ἔλεος, καὶ εἰρήνην Μάρτυς ἀστασίαστον.



Ιδε Μάρτυς τοὺς σπεύδοντας, τῇ σῇ ἀντιλήψει ὡς ἱλαρώτατος, καὶ ἑκάστῳ δίδου ἄνωθεν, τῆς σῆς προστασίας τὰ δωρήματα.

*Θεοτοκίον.*

Η Θεὸν σωματώσασα, καὶ μετὰ τὸν τόκον παρθένος μείνασα, Θεοτόκε Ἀειπάρθενε, ἵλεών μοι ἔργασαι ὃν ἔτεκες.

*Ὠδὴ ε'. Φώτισον ἡμᾶς.*

Μάρτυς ἀληθής, Μιχαὴλ ὤφθης τοῦ Κτίσαντος, καταισχύνας τὸν τοῦ ψεύδους εὑρετήν· οὗ τῆς πλάνης καὶ ἀπάτης ἡμᾶς λύτρωσαι.

Αἵμασι τοῖς σοῖς, ἡγιάσθη γῆ ἡ πάτριος· διὸ αἴτει Μιχαὴλ ἁγιασμόν, καὶ χαρὰν τὴν ἀληθῆ τοῖς εὐφημοῦσί σε.

Σύντριψον ἐχθροῦ, καθ' ἡμῶν τὰ μηχανήματα, ἐν εἰρήνῃ τὴν ζωὴν ἡμῶν ἀεί, κατευθύνων Μιχαὴλ ἐπὶ τὰ κρείττονα.

*Θεοτοκίον.*

Κόπασον Ἁγνή, τῶν παθῶν μου τὸ κλυδώνιον, καὶ ὁδήγησόν με Κόρη ἀσφαλῶς, πρὸς λιμένα θελημάτων τοῦ Παντάνακτος.

*Ὠδὴ στ'. Τὴν δέησιν.*

Ιδού σοι, ἐν εὐλαβείᾳ προσῆλθον, Ἀθηναίων εὐσεβούντων χορεῖαι, καὶ τῇ σεπτῇ σου εἰκόνι ἐστῶτες, ἀπὸ ψυχῆς Μιχαὴλ ἐκβοῶσί σοι· Ρῦσαι ἡμᾶς πάσης ὀργῆς, νεομάρτυς λιταῖς σου πρὸς Κύριον.

Νεκρώσας, τὸν νεκρωτὴν τὸν ἀρχαῖον, δι' ἀγάπην νεκρωθεὶς τοῦ Σωτῆρος, νεκροποιῶν ἐννοιῶν καὶ ἀτόπων, τὰς διανοίας ἡμῶν ἀποκάθαρον, ἀθλητικῇ σου πρὸς Χριστόν, Μιχαὴλ παρρησίᾳ δεόμεθα.

Δυνάμει, κραταιωθεὶς οὐρανίῳ, ἀπετμήθης τὸν αὐχένα ἀνδρείως· ὅθεν κἀμὲ ἐνδυνάμωσον Μάρτυς, καταπατεῖν τοῦ δολίου τὰ σκάνδαλα, καὶ ἐν ἀνδρείᾳ ψυχικῇ, διανύειν ὁδὸν τὴν σωτήριον.

*Θεοτοκίον.*

Υδάτων, τῆς ἀπωλείας με ῥῦσαι, εἰσρευσάντων τῇ ἀθλίᾳ ψυχῇ μου, καὶ πρὸς τὸ ὕδωρ ζωῆς τῆς ἁγίας, δι' ἀληθοῦς μετανοίας με ἴθυνον, Παρθενομῆτορ Μαριάμ, τῶν ἀνθρώπων λιμὴν ὁ σωτήριος.

Διάσωσον ὦ Μιχαὴλ Νεομάρτυς ἠγλαϊσμένε, πάσης βλάβης ταῖς πρὸς Θεὸν μεσιτείαις σου, τοὺς καταφεύγοντας πόθῳ τῇ σῇ πρεσβείᾳ.

Ἄχραντε ἡ διὰ λόγου...

*Αἴτησις καί τό κοντάκιον.*

*Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου*

Εν εὐσεβείᾳ ἀνύων τὸν βίον σου, μαρτυρικῆς ἠξιώθης λαμπρότητος· διὸ τῶν παθῶν μου τὴν ζόφωσιν, ταῖς σαῖς πρεσβείαις διάλυσον Ἅγιε, βραβεύων μοι χάριν καὶ ἔλεος.

*Προκείμενον.*

Δίκαιος ὡς φοίνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

*Στίχ. Θαυμαστός ὁ Θεός ἐν τοῖς Ἁγίοις αὐτοῦ.*

*Εὐαγγέλιον κατά Λουκάν.*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων, καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν.

*Δόξα...*

Ταῖς τοῦ Ἀθλοφόρου Πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.



*Καί νῦν*

Ταῖς τῆς Θεοτόκου Πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

*Προσόμοιον.*

*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Μάρτυς ἐνθεώτατος, τοῦ Βασιλέως τῆς δόξης, ἐν ὑστέροις ἔτεσιν, ἀθλήσας στερρότατα ὤφθης Ἅγιε· διὸ νῦν πρέσβευε, τῷ σῷ ἀθλοθέτῃ, τυχεῖν θείας ἱλαρότητος, καὶ τῆς ἀφέσεως, τῶν ἁμαρτιῶν ὧν ἐπράξαμεν, καὶ φωτισμοῦ τῆς χάριτος, τοὺς εἰλικρινῶς σε γεραίροντας, Μιχαὴλ παμμάκαρ, τὸ ἄνθος τὸ εὐῶδες Ἀθηνῶν, τὸ διαπνέον τοῖς ἅπασι, τὴν ὀσμὴν τοῦ Πνεύματος.

*Σῶσον ὁ Θεός τόν λαόν σου...*

*Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Νέος ὤφθης ὁπλίτης, Μιχαὴλ Νεομάρτυς τοῦ Παντοκράτορος· διὸ τῆς ἐξαπάτης, καὶ πάσης πονηρίας, τοῦ δεινοῦ κοσμοκράτορος, ῥύου ἡμᾶς εἰσαεί, θερμῇ σου ἀντιλήψει.

Ως θεόφρονι γνώμῃ, ἐναθλῆσαι προείλου πόθῳ τοῦ Κτίστου σου, νοῦν σώφρονα ἐν πᾶσι, καὶ καθαρὰν καρδίαν, ἐν σεμνοῖς Μάρτυς ἤθεσι, δίδου ἰσχὺν γεωργεῖν, ἡμῖν τοῖς σὲ τιμῶσι.

Ναὸν θεῖόν σοι Μάρτυς, εὐσεβοῦντες εἰς δόξαν σὴν καθιέρωσαν, ἐν ᾧ οἱ προσιόντες, χαρᾶς καὶ εὐφροσύνης, οὐρανίου πληρούμεθα, ἐπιφοιτήσει τῆς σῆς, χάριτος Ἀθλοφόρε.

*Θεοτοκίον.*

Γλυκασμὸν σωτηρίας, τῷ δεινῶς πληγωθέντι ἰῷ τοῦ ὄφεως, παράσχου μοι Παρθένε, καὶ τῆς ψυχῆς μου πᾶσαν, ἠδυπάθειαν νέκρωσον, ἵνα σωθεὶς διὰ σοῦ, ὑμνῶ σε Θεοτόκε.

*Ὠδή η'. Τόν Βασιλέα.*

Εχων μεγίστην, ὡς Ἀθλητὴς παρρησίαν, πρὸς τὸν Κύριον ὦ Μιχαὴλ δυσώπει, πάσης δυσχερείας, ἡμᾶς ἀεὶ λυτροῦσθαι.

Ρείθροις αἱμάτων, τὴν Ἐκκλησίαν ἀρδεύσας, βλῦσον ἅπασι τῆς θείας εὐσπλαχνίας, ταῖς σαῖς ἱκεσίαις, ὦ Μιχαὴλ τὰ ῥεῖθρα.

**Α** νωθεν ἴδε, ὡς συμπαθὴς Νεομάρτυς, τοὺς προσπίπτοντες τῇ θείᾳ σου πρεσβείᾳ, Μιχαὴλ καὶ πλήρου, τὰς τῶν πιστῶν αἰτήσεις.

*Θεοτοκίον.*

**Σ** άρκα φορέσας, ἐκ τῶν ἁγνῶν σου αἱμάτων, ὁ τὰ σύμπαντα παραγαγὼν παρθένε, ἔσωσε τὸν κόσμον, τῆς πάλαι καταδίκης.

*Ὠδὴ θ'. Κυρίως Θεοτόκον.*

**Ι** λύος πάσης ῥῦσαι, Μιχαὴλ θεόφρον, ἐπιφορῶν ὀλεθρίων τοῦ ὄφεως, τοὺς ἀδιστάκτῳ καρδίᾳ σε μεγαλύνοντας.

**Μ** ονὰς τὰς οὐρανίους, ἤδη κατοικήσας, μὴ διαλίπῃς ἐκεῖθεν μακάριε, τοῦ ἐποπτεύειν τοὺς πόθῳ σε μακαρίζοντας.

**Ο** νέος Χριστοῦ Μάρτυς, Μιχαὴλ τρισμάκαρ, τῶν Ἀθηνῶν τὸ τερπνότατον βλάστημα, τὴν σὴν πατρίδα ἐκ πάσης φύλαττε θλίψεως.

*Θεοτοκίον.*

**Υ** λώδους προσπαθείας, κάθαρον τὸν νοῦν μου, καὶ τῇ ἀγάπῃ με Κόρη καρδίωσον, τοῦ προελθόντος ἀφράστως ἐκ τῶν αἱμάτων σου.

*Τὸ Ἄξιον ἐστι καὶ τὰ μεγαλυνάρια.*

**Π** όλις Ἀθηναίων ἡ εὐκλεής, ἤνεγκέ σε μάρτυς, ὥσπερ κρίνον πανευθαλές· ἔνθεν εὐσεβείας, ὀσμὴν τὴν οὐρανίαν, ἀθλήσας διαπνέεις, Μιχαὴλ ἅπασι.

**Ν** έος ὢν τῷ σώματι Ἀθλητά, ἁπλοῦς δὲ τὸν τρόπον, καὶ τοῖς ἤθεσιν εὐπρεπής, τὴν ὀφρὺν καθεῖλες, ἐχθροῦ τοῦ παλαμναίου, ὦ Μιχαὴλ θεόφρον, ἀθλήσας ἄριστα.

**Γ** νώμῃ ἀπτοήτῳ καὶ σταθερᾷ, τὰς βουλὰς αἰσχύνας, καὶ τὸ θράσος τῶν δυσσεβῶν, ἱδρυμένος πέτρᾳ, στερρῶς τῆς εὐσεβείας, ὦ Μιχαὴλ καὶ πόνους. Μαρτύρων ἤνεγκας.

**Λ** όγους τε καὶ δῶρα καὶ ἀπειλάς, καὶ πικρὰς βασάνους, ὑπερέδραμες Μιχαήλ, καὶ τμηθεὶς τὴν κάραν, ὑπὲρ Χριστοῦ ἀνδρείως, Μαρτύρων ἐκοσμήθης, τῷ διαδήματι.



**Α** νθος τῆς νεότητος παριδών, ἤθλησας νομίμως, δι' ἀγάπην τοῦ Ἰησοῦ, ὃν ἀεὶ δυσώπει, δοῦναι ἡμῖν εἰρήνην, καὶ πᾶσαν εὐλογίαν, Μιχαὴλ ἄνωθεν.

**Δ** όξης ἀπολαύων θεαρχικῆς, Μιχαὴλ θεόφρον, καθικέτευε ἐκτενῶς, ὑπὲρ τῶν ἐν πίστει, τελούντων σου τὴν μνήμην, διδόναι ἡμῖν χάριν, καὶ θεῖον ἔλεος.

**Π** ᾶσαι τῶν Ἀγγέλων...

*Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς:*
*Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.*

**Π** άντας τοὺς γεραίροντας πιστῶς, Μάρτυς τοὺς ἁγίους ἀγῶνας, τῆς σῆς ἀθλήσεως, πάσης περιστάσεως, καὶ πάσης θλίψεως, ἀνωτέρους διάσωζε, Μιχαὴλ παμμάκαρ, ταῖς πρὸς τὸν Παντάνακτα, θερμαῖς πρεσβείαις σου, δίδου δὲ χαρὰν καὶ εἰρήνην, καὶ παντὸς καλοῦ ἀφθονίαν, τοῖς τῷ σῷ ναῷ θερμῶς προστρέχουσι.

**Δ** έσποινα πρόσδεξαι...

**Τ** ὴν πᾶσαν ἐλπίδα μου...

*Δίστιχον.*

Μάρτυς ἀγγελώνυμε Μιχαὴλ δέξαι
Γερασίμου δέησιν σοὶ προσιόντος.